# ΟΝΟΜΑΤΑ



# ΚΕΧΙΑΣΜΕΝΑ

πρώτη μηνιαία αἰνιγματικὴ
ἔκδοσις τῇ ἀρχαίῃ γλώσσῃ

ἔτος 2015 - πρώτη ἔκδοσις

ἐκδότης: Λούκας Δεσιάτα

βουλὴ τῶν ἐκδότων: Θεόδωρος

www.**MyLatinLover**.it

# ὀνόματα κεχιασμένα (ἐκ Ἰλιάδος α΄)

| | | | | |
|---|---|---|---|---|
| I | | II | | III |
| | ■ | | ■ | |
| IV | | | | |
| | ■ | | ■ | |
| V | | | | |

**ὅροι ὁμαλοί ( → )**

I) … ἀλλ' ἄγε διογενὲς Πατρόκλεες _____ κούρην … (337);
IV) … Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' _____ Φοῖβος Ἀπόλλων ... (457);
V) … ἀλλὰ κακῶς _____, κρατερὸν δ’ ἐπὶ μῦθον ἔτελλε ... (25).

**ὅροι κάθετοι ( ↓ )**

I) … ὡς δὴ τοῦδ' _____ σφιν ἑκηβόλος ἄλγεα τεύχει … (110);
II) … ἔνθ' _____ μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ … (376);
III) … μᾶλλον ἐμοὶ _____ τὸ δέ τοι καὶ ῥίγιον ἔσται … (563).

**μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

Δὸς μοι πᾶ στῶ καὶ
**YXX ZXX** κινάσω.

(Ἀρχιμήδης)

**πρόσθεσις τοῦ ἐν ἀρχῇ συμφώνου γράμματος**

Ἄκουε τοῦ **XX** τέσσαρα
**YXX** ἔχοντος.

(παροιμία)

**τὰ φωνήεντα γράμματα οὐκ ἱκανά**

γράφε γράμματα ἀντὶ ἑκάστου ἀρυθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

Ἄ 1 2 3 α – 4 οι - ἔ 1 1 ε 5 ε, - 4 οῦ 6 α, - 5 ο 7 ύ 8 3 ο 5 ο 1, - ὃ 9 – 4 ά 7 α – 5 ο 7 7 ὰ
5 7 ά 10 11 12 η, - ἐ 5 εὶ - 8 3 οίη 9 - ἱε 3 ὸ 1 – 5 8 ο 7 ἱε 12 3 ο 1 - ἔ 5 ε 3 6 ε·
5 ο 7 7 ῶ 1 - 2' - ἁ 1 12 3 ώ 5 ω 1 - ἴ 2 ε 1 - ἄ 6 8 εα – 13 αὶ - 1 όο 1 - ἔ 10 1 ω,
5 ο 7 7 ὰ - 2' - ὅ - 10' - ἐ 1 – 5 ό 1 8 ῳ - 5 ά 12 ε 1 - ἄ 7 10 εα - ὃ 1 – 13 α 8 ὰ - 12 υ 4 ό 1,
ἀ 3 1 ύ 4 ε 1 ο 9 - ἥ 1 – 8 ε – 14 υ 11 ὴ 1 – 13 αὶ - 1 ό 6 8 ο 1 - ἐ 8 αί 3 ω 1.
ἀ 7 7' - οὐ 2' - ὧ 9 - ἐ 8 ά 3 ου 9 - ἐ 3 3 ύ 6 α 8 ο, - ἱέ 4 ε 1 ό 9 – 5 ε 3·
αὐ 8 ῶ 1 – 10 ὰ 3 – 6 15 ε 8 ὲ 3 ῃ 6 ι 1 - ἀ 8 α 6 12 α 7 ίῃ 6 ι 1 - ὅ 7 ο 1 8 ο,
1 ή 5 ιοι, - οἳ - 13 α 8 ὰ - 16 οῦ 9 - Ὑ 5 ε 3 ίο 1 ο 9 - Ἠε 7 ίοιο
ἤ 6 12 ιο 1· - αὐ 8 ὰ 3 - ὁ - 8 οῖ 6 ι 1 - ἀ 15 εί 7 ε 8 ο – 1 ό 6 8 ι 4 ο 1 - ἦ 4 α 3.
8 ῶ 1 - ἁ 4 ό 12 ε 1 – 10 ε, - 12 εά, - 12 ύ 10 α 8 ε 3 – 2 ιό 9, - εἰ 5 ὲ - 13 αὶ - ἡ 4 ῖ 1.

## ζήτευσις τῶν ὀνομάτων

εὑρίσκε τὰ ὀνόματα. τὰ λοιπὰ γράμματα ποιήσονται τὸ λελοιπὸν ὄνομα.

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ε | χ | ω | ν | χ | ρ | υ | σ | η | ω | ι | φ | ο | κ |
| δ | ι | ο | ς | α | ρ | η | τ | η | ρ | α | τ | θ | υ |
| ι | ι | μ | ο | ο | ο | υ | λ | ο | μ | ε | ν | η | ν |
| ε | α | ν | η | τ | η | τ | σ | α | ι | δ | ο | υ | ε |
| α | **π** | **η** | **λ** | **η** | **ι** | **α** | **δ** | **ε** | **ω** | υ | υ | ν | σ |
| τ | ο | ν | ι | β | ο | υ | λ | η | ω | ω | σ | η | σ |
| ω | ι | ω | χ | ο | λ | ε | κ | ο | ν | τ | ο | κ | ι |
| ρ | ν | α | α | η | τ | ι | μ | α | σ | ε | ν | α | ν |
| π | α | λ | γ | ε | ρ | ο | τ | η | μ | σ | ο | κ | ς |

Μῆνιν **ἄειδε**, θεά, **Πηληιάδεω** **Ἀχιλῆος**
**οὐλομένην**, ἣ μυρί’ Ἀχαιοῖς **ἄλγε**’ ἔθηκε,
πολλὰς δ’ ________ ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε **κύνεσσιν**
οἰωνοῖσί τε πᾶσι· Διὸς δ’ **ἐτελείετο βουλή**·
ἐξ οὗ δὴ τὰ **πρῶτα διαστήτην** ἐρίσαντε
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ **δῖος** Ἀχιλλεύς.
Τίς γάρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆι χολωθεὶς
**νοῦσον** ἀνὰ στρατὸν ὦρσε **κακήν**, **ὀλέκοντο** δὲ λαοί,
οὕνεκα τὸν **Χρύσην ἠτίμασεν ἀρητῆρα**
Ἀτρεΐδης· ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
λυσόμενός τε θύγατρα φέρων τ’ ἀπερείσι’ **ἄποινα**,
στέμματ' **ἔχων** ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
**χρυσέῳ** ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα **δύω**, **κοσμήτορε λαῶν**·

## εἰκὼν κεκρυμμένη

σύνδε σημεῖα ἐκ α εἰς ψ ἵνα εἰκόνα ποιῇς




# ΑΣΤΕΡΙΚΙΟΣ ΚΑΙ ΚΛΕΟΠΑΤΡΑ




(Permission requested to publisher Mamouth Comix and forwarded to the French publisher)

# Τὰ νέα ἑλληνιστὶ γεγραμμένα

**Μνήμη περὶ τῆς γενοκτονίας τῶν Ἀρμενίων**
**24 Ἀπριλίου 2015**



Τήμερον τῇ Κυριακῇ τιμῶσιν οἱ Ἀρμένιοι ἐκείνους οἳ ὑπὸ τῆς Ὀθωμανικῆς Ἀρχῆς τῷ 1915ῳ ἔτει παρανόμως ἀπέθανον ἐν ᾧ οἱ ἱστορικοὶ καλοῦσι "γενοκτονία τῶν Ἀρμενίων". καίπερ τῆς Τουρκίας ἔτι καὶ νῦν ἀρνουμένης ἐκεῖνα τὰ τότε γεγενημένα γενοκτονίαν εἶναι, τῷ ὄντι οἱ πλεῖστοι τῶν ἱστορικῶν ὁμολογοῦσι τὴν Ὀθωμανικὴν Ἀρχὴν τοὺς Ἀρμενίους ἀναιρεῖν πειρᾶσαι, τοσοῦτοι δὲ ἄνθρωποι ἀπέθανον ὥστε κατὰ τοὺς ἱστορικοὺς δεῖ "γενοκτονίαν" τοῦτο καλεῖν (λέγεται ὅτι 1,500,000 ἄνθρωποι ἀπέθανον)· πολλαὶ δὲ χῶραι αἳ τὸ πρότερον τὴν γενοκτονίαν ἠρνοῦντο νῦν οὐκέτι ἀρνοῦνται· παραδείγματος ἕνεκα, καὶ ἡ Αὐστρία τὸ νῦν τοῦτο ὁμολογεῖ, καίπερ ἐν τῷ Πρώτῳ Παγκοσμίῳ Πολέμῳ συμμαχὶς τῇ Ὀθωμανικῇ Ἀρχῇ οὖσα.

ἡ κεφαλαία μνήμη ἐν τῇ πόλει Ἐρεβὰν ὑπῆρξεν (ἡ Ἐρεβὰν πρωτεύουσα τῆς Ἀρμενίας ἐστίν)· τῆς μνήμης ἀρχομένης, ὁ Ἀρμένιος πρόεδρος, ὁ Σέργε Σαρκίσσιαν, χάριν ἔσχε τοῖς ξένοις ἄρχουσιν εἰς τὴν Ἐρεβὰν τήμερον ἡκοῦσιν, εἶπε δὲ ἄλλα τε καὶ ὅτι δεῖ ἐκείνης τῆς γενοκτονίας ἀεὶ μὲν μεμνῆσθαι, οὐδέποτε δὲ ἐπιλάθεσθαι. ἐκ τῆς Γαλατίας ἧκον εἰς τὴν Ἐρεβὰν οὐ μόνον ὁ πρόεδρος Ὀλλάνδε ἀλλὰ καὶ ὁ ᾠδὸς Καρόλος Ἀθναβοῦρ, ὃς τυγχάνει Ἀρμένιος κατὰ γένεσιν ὤν (ὃ οὐ πολλοὶ ἄνθρωποι ἴσασιν). καὶ δὴ καὶ ἐν πολλαῖς ἄλλαις πόλεσι διὰ τῆς οἰκουμένης ἄλλαι μνῆμαι ἐποιήθησαν τήμερον, μετὰ γὰρ τὴν γενοκτονίαν πολλοὶ τῶν περιόντων πρὸς ἄλλας χώρας ἐσκεδάσαντο.

τὸ ὁμολογεῖν ἢ τὸ μὴ ὁμολογεῖν περὶ ταύτης τῆς γενοκτονίας ἀεὶ ἅμιλλαν φέρει τῇ Τουρκίᾳ πρὸς τὰς χώρας τὴν γενοκτονίαν γενέσθαι ὁμολογούσας. ὅμως δὲ καὶ ἡ Τουρκία διπλωματικὸν ἔπεμψεν εἰς τὴν Ἐρεβὰν ἵνα τῆς μνήμης παρέχοι, καίπερ τὸ ὄνομα "γενοκτονίαν" ἀρνουμένη.

Reproduced with authorisation of Juan Coderch

**Ἀπεργία ἐν ταῖς Windsor Βασιλείαις;**
**7 Ἀπριλίου 2015**



Οἱ τοῦ τῶν Βασιλείων Windsor ἐργασταὶ ἀπειλοῦσι τῷ ἀπεργεῖν, ὃ οὐδέποτε τὸ πρότερον ἐκεῖ γέγονεν, ὅμως δὲ ἀκριβῶς οὐ λέγουσιν ὅ τι ἐν νῷ ποιεῖν ἔχουσιν, πότερον παντελῶς ἀπεργεῖν ἢ μόνον κατὰ μέρος· κατὰ δὲ τὸν τούτων τῶν ἐργαστῶν φερέφωνον, οὐχ ἱκανὸν μισθὸν δέχονται, καὶ δὴ οὐ μόνον περὶ τούτου ὀλοφύρονται ἀλλὰ καὶ μέμφονται ὅτι τυγχάνουσι προῖκα ποιοῦντες πολλὰ ὧν ἐκεῖ ποιοῦσιν, παραδείγματος ἕνεκα τοῖς μὲν τουρισταῖς διὰ τοὺ οἰκήματος ἡγοῦνται καίπερ τοῦτο ποιεῖν οὐκ ἀναγκαῖον αὐτοῖς ὄν, οὐδὲν δὲ χρημάτων ὑπὲρ τούτου δέχονται καὶ βούλονται τέλος τούτῳ ἐπιθεῖναι.
αὗται αἱ βασίλειαι, ἐν αἷς διακόσιοι ἐργασταὶ ἐργάζονται, κεῖνται οὐκ ἐν τῷ τοῦ Λονδίνου κέντρῳ ἀλλὰ ἤδη ἔξω τῆς πόλεως, τῷ πρὸς τὴν πόλιν Reading πορευομένῳ, ἡ δὲ Βασίλεια Ἐλισάβετ Β' ἐνίοτε ἡμέρας τινὰς ἐκεῖ διατρίβει (ἐπὶ τὸ πολὺ ἐν τοῖς Βασιλείοις Buckingham διοικεῖ).

Reproduced with authorisation of Juan Coderch

# λύσις

## ὀνόματα κεχιασμένα

| | | | | |
|---|---|---|---|---|
| I κ | ο | II ν | ι | III ε |
| υ | | ο | | μ |
| IV ρ | υ | θ | μ | ε |
| ι | | ω | | σ |
| V ε | ν | ν | ο | ω |

### μεταβολὴ τοῦ ἐν ἀρχῇ συμφόνου γράμματος

Δὸς μοι πᾶ στῶ καὶ
**τὰν γᾶν** κινάσω.

(Ἀρχιμήδης)

### ἐπιτίθεσις τοῦ ἐν ἀρχῇ συμφόνου γράμματος

Ἄκουε τοῦ **τὰ** τέσσαρα
**ὦτα** ἔχοντος.

(παροιμία)

### τὰ φωνήεντα γράμματα οὐκ ἱκανά

γράφε γράμματα ἀντὶ ἑκάστου ἀρυθμοῦ ἵνα τοῦ προοιμίου τῆς Ὀδυσσείας τυγχάνῃς

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
πλάγχθη, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσε·
πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,
πολλὰ δ' ὅ γ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.
ἀλλ' οὐδ' ὧς ἑτάρους ἐρρύσατο, ἱέμενός περ·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,
νήπιοι, οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον· αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.
τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν

# λύσις

## ζήτευσις τῶν ὀνομάτων

| | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ε | χ | ω | ν | χ | ϱ | υ | σ | η | ω | ι | φ | ο | ϰ |
| δ | ι | ο | ς | α | ϱ | η | τ | η | ϱ | α | τ | θ | υ |
| ι | ι | μ | ο | ο | ο | υ | λ | ο | μ | ε | ν | η | ν |
| ε | α | ν | η | τ | η | τ | σ | α | ι | δ | ο | υ | ε |
| α | π | η | λ | η | ι | α | δ | ε | ω | υ | υ | ν | σ |
| τ | ο | ν | ι | β | ο | υ | λ | η | ω | ω | σ | η | σ |
| ω | ι | ω | χ | ο | λ | ε | ϰ | ο | ν | τ | ο | ϰ | ι |
| ϱ | ν | α | α | η | τ | ι | μ | α | σ | ε | ν | α | ν |
| π | α | λ | γ | ε | ϱ | ο | τ | η | μ | σ | ο | ϰ | ς |

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| ι | φ | θ | ι | μ | ο | υ | ς |

= ἰφθίμους

## εἰκὼν κεκρυμμένη

